**I dialetti – Il gruppo occidentale**

1. a) Thuc. IV 126,2 ἀγαθοῖς γὰρ εἶναι ὑμῖν προσήκει τὰ πολέμια οὐ διὰ ξυμμάχων παρουσίαν ἑκάστοτε, ἀλλὰ δι' οἰκείαν ἀρετήν, καὶ μηδὲν πλῆθος πεφοβῆσθαι ἑτέρων, οἵ γε μηδὲ ἀπὸ πολιτειῶν τοιούτων ἥκετε, ἐν αἷς οὐ πολλοὶ ὀλίγων ἄρχουσιν, ἀλλὰ πλεόνων μᾶλλον ἐλάσσους, οὐκ ἄλλῳ τινὶ κτησάμενοι τὴν δυναστείαν ἢ τῷ μαχόμενοι κρατεῖν.

   b) Plat. *Leg.* 625d-626b ταῦτ' οὖν πρὸς τὸν πόλεμον ἡμῖν [*scil.* Cretesi] ἅπαντα ἐξήρτυται … ἄνοιαν δή μοι δοκεῖ καταγνῶναι τῶν πολλῶν ὡς οὐ μανθανόντων ὅτι πόλεμος ἀεὶ πᾶσιν διὰ βίου συνεχής ἐστι πρὸς ἁπάσας τὰς πόλεις·… ἣν γὰρ καλοῦσιν οἱ πλεῖστοι τῶν ἀνθρώπων εἰρήνην, τοῦτ' εἶναι μόνον ὄνομα, τῷ δ' ἔργῳ πάσαις πρὸς πάσας τὰς πόλεις ἀεὶ πόλεμον ἀκήρυκτον κατὰ φύσιν εἶναι. καὶ σχεδὸν ἀνευρήσεις, οὕτω σκοπῶν, τὸν Κρητῶν νομοθέτην ὡς εἰς τὸν πόλεμον ἅπαντα δημοσίᾳ καὶ ἰδίᾳ τὰ νόμιμα ἡμῖν ἀποβλέπων συνετάξατο, καὶ κατὰ ταῦτα οὕτω φυλάττειν παρέδωκε τοὺς νόμους, ὡς τῶν ἄλλων οὐδενὸς οὐδὲν ὄφελος ὂν οὔτε κτημάτων οὔτ' ἐπιτηδευμάτων, ἂν μὴ τῷ πολέμῳ ἄρα κρατῇ τις, πάντα δὲ τὰ τῶν νικωμένων ἀγαθὰ τῶν νικώντων γίγνεσθαι.

   c) *Il.* II 653-656 Τληπόλεμος δ' Ἡρακλεΐδης ἠΰς τε μέγας τε / ἐκ Ῥόδου ἐννέα νῆας ἄγεν Ῥοδίων ἀγερώχων, / οἳ Ῥόδον ἀμφενέμοντο διὰ τρίχα κοσμηθέντες / Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμειρον ‖ Hes. fr. 233 M.-W. πάντες δὲ τριχάϊκες καλέονται / οὕνεκα τρισσὴν γαῖαν ἑκὰς πάτρης ἐδάσαντο.

   d) Tyrt. fr. 19,8 W.$^2$ χωρὶς Πάμφυλοί τε καὶ Ὑλλεῖς ἠδ[ὲ Δυμᾶνες || Hesych. δ 2484 L. Δύμη· ἐν Σπάρτῃ φυλή, καὶ τόπος.

   e) Hdt. VIII 73 οἰκέει δὲ τὴν Πελοπόννησον ἔθνεα ἑπτά. τούτων δὲ τὰ μὲν δύο αὐτόχθονα ἐόντα κατὰ χώρην ἵδρυται νῦν τῇ καὶ τὸ πάλαι οἴκεον, Ἀρκάδες τε καὶ Κυνούριοι. ἓν δὲ ἔθνος τὸ Ἀχαϊκὸν ἐκ μὲν Πελοποννήσου οὐκ ἐξεχώρησε, ἐκ μέντοι τῆς ἑωυτῶν, οἰκέει δὲ τὴν ἀλλοτρίην. τὰ δὲ λοιπὰ ἔθνεα τῶν ἑπτὰ τέσσερα ἐπήλυδά ἐστι, Δωριέες τε καὶ Αἰτωλοὶ καὶ Δρύοπες καὶ Λήμνιοι. Δωριέων μὲν πολλαί τε καὶ δόκιμοι πόλιες, Αἰτωλῶν δὲ Ἦλις μούνη, Δρυόπων δὲ Ἑρμιών τε καὶ Ἀσίνη ἡ πρὸς Καρδαμύλῃ τῇ Λακωνικῇ, Λημνίων <…> δὲ Παρωρεῆται πάντες.

2. a) μάτηρ ‖ ϝάναξ, λαϝός ‖ δίδωτι (ai. *dádāti*, lat. *dat*), φέροντι (ai. *bháranti*, lat. *ferunt*), ϝίκατι (lat. *viginti*), τριακάτιοι ‖ πρᾶτος, ἱαρός ‖ τοί, ταί ‖ τύ (*tw-) ‖ τῆνος ‖ νιν ‖ φέρομες ‖ διδόμεν (cf. lat. *certa-men*) e φέρεν ‖ κα (eol. cipr. κε, ion.-att. arc. ἄν), πόκα ‖ αἰ ‖ τέτορες (att. τέτταρες, ion. τέσσαρες, eol. πέσσυρες, πέτταρες, πίσυρες, mic. τετρῶϝες).

   b) ᾰ + |e(i)| > η(ι), ᾱε, ᾱο, ᾱω > ᾱ, ε + |a,o| > ι ‖ τέτορες (< *tet$^w$ores) ‖ βασιλέος, βασιλέι, βασιλέα ‖ σκευάξαι, κομίξαι (ma arg. ἐδίκασσαν, ἐργάσσαντο, cir. οἰκίξοντες) ‖ φευξοῦμαι ‖ ἀποσταλησεῖ ‖ αἴ τίς κα.

   c) ὁ δέ κα μὴ λῆι πλῆν ἀποστελλοίσας τᾶς πόλιος θανά[σι]μος τένται ‖ ἦνθον ‖ ϝίσᾱμι.

   d) ἡμί, μῶσα, ἵππω, ἀνθρώπως / εἰμί, μοῦσα, ἵππου, ἀνθρώπους.

   e) φάρω ‖ χρέεσται ‖ λυσάστō ‖ φιλείμενος ‖ ἀρχόντοις ‖ πολίτᾱ ‖ τόποι (dat.) ‖ τέτορες (acc.) ‖ ἐν + acc.

3. a) Alcm. *PMGF* 26 οὔ μ' ἔτι, παρσενικαὶ μελιγάρυες ἱαρόφωνοι, / γυῖα φέρην δύναται· βάλε δὴ βάλε κηρύλος εἴην, / ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτήται / νηλεὲς ἦτορ ἔχων, ἁλιπόρφυρος ἱαρὸς ὄρνις.

   b) Epich. fr. 18 K.-A. πρᾶτον μὲν αἴκ ἔσθοντ' ἴδοις νιν, ἀποθάνοις· / βρέμει μὲν ὁ φάρυγξ ἔνδοθ', ἀραβεῖ δ' ἁ γνάθος, / ψοφεῖ δ' ὁ γομφίος, τέτριγε δ' ὁ κυνόδων, / σίζει δὲ ταῖς ῥίνεσσι, κινεῖ δ' οὔατα.

   c) *Dial. VS* 90 B 1 Δισσοὶ λόγοι λέγονται ἐν τᾷ Ἑλλάδι ὑπὸ τῶν φιλοσοφούντων περὶ τῶ ἀγαθῶ καὶ τῶ κακῶ. τοὶ μὲν γὰρ λέγοντι, ὡς ἄλλο μέν ἐστι τὸ ἀγαθόν, ἄλλο δὲ τὸ κακόν· τοὶ δέ, ὡς τὸ αὐτό ἐστι, καὶ τοῖς μὲν ἀγαθὸν εἴη, τοῖς δὲ κακόν, καὶ τῷ αὐτῷ ἀνθρώπῳ τοτὲ μὲν ἀγαθόν, τοτὲ δὲ κακόν. ἐγὼ δὲ καὶ αὐτὸς τοῖσδε ποτιτίθεμαι· σκέψομαι δὲ ἐκ τῶ ἀνθρωπίνω βίω, ᾧ ἐπιμελὲς βρώσιός τε καὶ πόσιος καὶ ἀφροδισίων· ταῦτα γὰρ ἀσθενοῦντι μὲν κακόν, ὑγιαίνοντι δὲ καὶ δεομένῳ ἀγαθόν. καὶ ἀκρασία τοίνυν τούτων τοῖς μὲν ἀκρατέσι κακόν, τοῖς δὲ πωλεῦντι ταῦτα καὶ μισθαρνέοντι ἀγαθόν. νόσος τοίνυν τοῖς μὲν ἀσθενεῦντι κακόν, τοῖς δὲ ἰατροῖς ἀγαθόν.

   d) Theocr. 1,1-6 Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα, / ἁ ποτὶ ταῖς παγαῖσι, μελίσδεται, ἁδὺ δὲ καὶ τύ / συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ. / αἴ κα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ· / αἴ κα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταρρεῖ / ἁ χίμαρος· χιμάρω δὲ καλὸν κρέας, ἔστε κ' ἀμέλξῃς.

   e) 'Herinn.' *AP* VII 710 Στᾶλαι καὶ Σειρῆνες ἐμαὶ καὶ πένθιμε κρωσσέ, / ὅστις ἔχεις Ἀίδα τὰν ὀλίγαν σποδιάν, / τοῖς ἐμὸν ἐρχομένοισι παρ' ἠρίον εἴπατε χαίρειν, / αἴτ' ἀστοὶ τελέθωντ' αἴθ' ἑτεροπτόλιες· / χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό· / χὤτι πατήρ μ' ἐκάλει Βαυκίδα, χὤτι γένος / Τηλία, ὡς εἰδῶντι· καὶ ὅττι μοι ἁ συνεταιρὶς / Ἤρινν' ἐν τύμβῳ γράμμ' ἐχάραξε τόδε.

**Bibliografia**


E. Boisacq, *Les dialectes doriens*, Paris-Liège 1891.

W. Dittenberger-K. Purgold, *Die Inschriften von Olympia*, Berlin 1896 (rist. 1966).

W. Brandt, *Griechische Temporalpartikeln vornehmlich im ionischen und dorischen Dialekt*, Diss. Strassburg 1907.

F. Bechtel, *Die griechischen Dialekte*, II, Berlin 1923 (rist. Hildesheim 1963)

E. Bourguet, *Le dialect laconien*, Paris 1927.

A. Thumb-E. Kieckers, *Handbuch der griechischen Dialekte*, I, Heidelberg 1932[2], 69-321.

R. Nehrbass, *Sprach und Stil der Iamata von Epidauros*, Leipzig 1935.

C.D. Buck, *The Dialect of Cyrene*, «CPh» XLI (1946) 129-134.

P. Milazzo, *Il dialetto greco di Sicilia nel quadro dei dialetti ellenici*, Palermo 1948.

K.H. Bode, *Die vordorischen Sprachzüge in den dorischen Dialekten*, Diss. Göttingen 1950.

E. Risch, *Die Sprache Alkmans*, «MH» XI (1954) 20-37.

E. Risch, *Die Gliederung der griechischen Dialekte in neuer Sicht*, «MH» XII (1955) 72ss.

E. Schwyzer, *Griechische Grammatik*, I, München 1959[3] [1934[1]], 91-96.

F. Kiechle, *Das Verhältnis von Elis, Triphylien und der Pisatis im Spiegel der Dialektunterchiede*, «RhM» CIII (1960) 336-366.

W. Porzig, recens. a A. Thumb-A. Scherer, *Handbuch der griechischen Dialekte*, II, Heidelberg 1959[2], «Gnomon» XXXII (1960) 593.

Anna Morpurgo Davies, *"Doric" Features in the Language of Hesiod*, «Glotta» XLII (1964) 138-165.

K. Strunk, *Dorisches und Hyperdorisches*, «Glotta» XLIII (1964) 165-169.

Addolorata Landi, *Contributi al dialetto dorico di Locri Epizefiri*, «RAAN» XLIII (1968) 63-67.

Addolorata Landi, *Note di dialettologia greca attraverso le iscrizioni delle colonie achee della Magna Grecia*, «Klearchos» XIII (1971) 113-126.

Addolorata Landi, *I dialetti dorici in Sicilia. Il corinzio*, «RAAN» XLVI (1971) 3-42.

Addolorata Landi, *I dialetti dorici in Sicilia. Il rodio-cretese*, «RAAN» XLVII (1972) 85-93.

Addolorata Landi, *I dialetti dorici in Sicilia. Il megarese*, «RAAN» XLVII (1972) 95-110.

R. Lazzeroni, *Contatti di lingue e di culture nell'Italia antica. Elementi greci nei dialetti italici*, «SSL» XII (1972) 1-24.

A. Bartonek, *Greek Dialects of Archaic Sicily. Their Integration Tendencies*, «GLO» V (1973) 71-89.

G. Giangrande, *Dorische Genetive bei Homer*, «Glotta» LI (1973) 1-6.

Addolorata Landi, *Ultimi contributi al dialetto dorico di Locri Epizefiri. Influssi storico-culturali sulla lingua*, «RAAN» XLVIII (1973) 57-76.

H. Solin, *Namen von den dorischen Inseln*, «ZPE» X (1973) 282-284.

J. Blomquist, *The Dialect of Epizephyrian Locri*, «OAth» XI (1975) 17-35.

A.G. Tsopanakis, *A Doric Pronoun (αὐταυτὸς-αὐτοσαυτός in Tragedy)*, in ***Φίλτρα**. Τιμητικός τόμος Σ. Γ. Καψωμένου*, Thessaloniki 1975, 183-199.

C. Brixhe, *Le dialect grec de Pamphylie. Documents et grammaire*, Paris 1976.

J. Chadwick, *Who Were the Dorians?*, «PP» XXXI (1976) 103-117.

C. Gallavotti, *Il documento orfico di Hipponion e altri testi affini*, «MCr» XIII-XIV (1978-1979) 337-359.

J.L.A. Moralejo, *Los dorios, su migración y su dialecto*, «Emerita» XLV (1977) 243-277.

Addolorata Landi, *Dialetti e interazione sociale in Magna Grecia. Lineamenti di una storia linguistica attraverso la documentazione epigrafica*, Napoli 1979.

A. López Eire, *El problema de los dialectos dóricos y nordoccidentales*, «Emerita» XLVIII (1980) 15-30.

J.V. Méndez Dosuna, *Clasificación dialectal y cronología relativa. El dialecto eleo*, «SPhS» IV (1980) 181-201.

E. Rizzi, *Il dorico di Creta; aspetti e problemi della struttura fonematica*, «SILTA» X (1981) 251-282.

C.J. Ruijgh, *Le Dorien de Théocrite: Dialecte Cyrénien d'Alexandrie et d'Égypte*, «Mnemosyne» n.s. XXXVII (1984) 56-88.

O. Masson, *La Sicile et le monde grec archaïque. L'apport de la linguistique*, «Kokalos» XXX-XXXI (1984-1985) 71-77.

J.V. Méndez Dosuna, *Los dialectos dorios del Noroeste. Gramatica y estudio dialectal*, Salamanca 1985.

J. Chadwick, *I Dori e la creazione dei dialetti greci*, in D. Musti (cur.), *Le origini dei Greci. Dori e mondo egeo*, Roma-Bari 1985, 3-12.

L. Innocente, *I Dori e la loro lingua in Pausania II 37,5*, «Aevum» LIX (1985) 41-49.

E. Risch, *La posizione del dialetto dorico*, in D. Musti (cur.), *Le origini dei Greci. Dori e mondo egeo*, Roma-Bari 1985, 13-35.

R. Arena, *Di alcune forme del greco di Sicilia*, «Acme» XL (1987) 17-23.

A. Lillo, *The Dorian Numeral Forms ϝεικατι, βείκατι, εἴκατι*, «MSS» XLVIII (1987) 175-178.

A. Lillo, *The Dorian Numeral τέτορες*, «MSS» XLIX (1988) 71-73.

A.C. Cassio, *Lo sviluppo della prosa dorica e le tradizioni occidentali della retorica greca*, «AION(filol)» XI (1989) 137-157.

J.L. O'Neil, *Dorian and Ionian Colonies in Sicily and their Relations with the Natives*, «Classicum» XV (1989) 14-18.

A.C. Cassio, *Alcmane, il dialetto di Cirene e la filologia alessandrina*, «RFIC» CXXI (1993) 24-36.

A. Lillo, *El hapax κλέννα y la lengua poética de Alcmán*, «Emerita» LXIII (1995) 21-45.

W. Blümel-R. Merkelbach, *Dorisch ἐντί statt ἐστί*, «ZPE» CXII (1996) 151-152.

Begoña Ortega Villaro, *Observaciones sobre la onomástica griega de Tarento y Heraclea*, «BN» n.s. XXXIII (1998) 253-262.

A.C. Cassio, *Futuri dorici, dialetto di Siracusa e testo antico dei lirici greci*, in A.C. Cassio (cur.), *Κατὰ διάλεκτον*. «Atti dell III Colloquio internazionale di dialettologia greca. Napoli-Fiaiano d' Ischia, 25-28 settembre 1996», Napoli 1999, 187-214.

R. Lazzeroni, *Il dialetto di Sparta fra cedimento e restaurazione*, «ILing» XXIX (2006) 83-89.

L. Dubois, *Inscriptions Grecques Dialectales de Sicile*, Genève 2008.

A. Robu, *Mégare et les établissements mégariens de Sicile, de la Propontide et du Pont-Euxin: histoire et institutions*, Bern 2014.